11 20 Μαριὰμ δὲ ἐν τ. οἴκῳ ἐκαθέζετο
20 12 θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους
Ac 6 15 ἀτενίσαντες εἰς αὐτὸν πάντες οἱ καθεζόμενοι ἐν τ. συνεδρίῳ
20 9 καθεζόμενος δέ τις νεανίας . . . ἐπὶ τ. θυρίδος

ΚΑΘΕΞΗΣ*

Lu 1 3 ἔδοξεν κἀμοὶ . . . καθεξῆς σοι γράψαι
8 1 ἐγένετο ἐν τῷ καθεξῆς
Ac 3 24 οἱ προφῆται ἀπὸ Σαμουὴλ κ. τῶν καθεξῆς
11 4 Πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς
18 23 διερχόμενος καθ. τ. Γαλατικὴν χώραν κ. Φρυγίαν

ΚΑΘΕΥΔΩ

Mt 8 24 αὐτὸς δὲ ἐκάθευδεν
9 24 οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον ἀλλὰ καθεύδει
13 25 ἐν δὲ τῷ καθεύδειν τ. ἀνθρώπους
25 5 ἐνύσταξαν πᾶσαι κ. ἐκάθευδον
26 40 εὑρίσκει αὐτοὺς καθεύδοντας
43 ἐλθὼν πάλιν εὗρεν αὐτοὺς καθεύδοντας
45 καθεύδετε λοιπὸν κ. ἀναπαίεσθε
Mk 4 27 ὡς ἄνθρωπος . . . καθεύδῃ κ. ἐγείρηται νύκτα κ. ἡμέραν
38 αὐτὸς ἦν ἐν τ. πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων
5 39 τὸ παιδίον οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει
13 36 μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας
14 37 ἔρχεται κ. εὑρίσκει αὐτοὺς καθεύδοντας, κ. λέγει τ. Πέτρῳ Σίμων καθεύδεις;
40 πάλιν ἐλθὼν εὗρεν αὐτοὺς καθεύδοντας
41 καθεύδετε τὸ λοιπὸν κ. ἀναπαύεσθε
Lu 8 52 οὐ γὰρ ἀπέθανεν ἀλλὰ καθεύδει
22 46 τί καθεύδετε; ἀνασταντες προσεύχεσθε
Eph 5 14 ἔγειρε ὁ καθεύδων
1 Th 5 6 ἄρα οὖν μὴ καθεύδωμεν ὡς οἱ λοιποί
7 οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδουσιν
10 εἴτε γρηγορῶμεν εἴτε καθεύδωμεν

ΚΑΘΗΓΗΤΗΣ*

Mt 23 10 μηδὲ κληθῆτε καθηγηταί· ὅτι καθηγητὴς ὑμῶν ἐστὶν εἷς ὁ Χριστός

ΚΑΘΗΚΩ

Ac 22 22 οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν
Ro 1 28 ποιεῖν τὰ μὴ καθήκοντα

ΚΑΘΗΜΑΙ

(1) seq. ἐπί, c. acc. (2) seq. παρά, c. acc. (3) seq. περί, πρός, ὑπό, c. acc. (4) seq. εἰς

Mt 4 16 ὁ λαὸς ὁ καθήμενος ἐν σκοτίᾳ φῶς εἶδεν μέγα,
הָעָם הַהֹלְכִים בַּחֹשֶׁךְ רָאוּ אוֹר גָּדוֹל, Is. ix. 1
κ. τ. καθημένοις ἐν . . . σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς
יֹשְׁבֵי בְּאֶרֶץ צַלְמָוֶת אוֹר נָגַהּ עֲלֵיהֶם, *ib.*
Mt 9 9 [1] εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον
11 16 ὁμοία ἐστὶν παιδίοις καθημένοις ἐν τ. ἀγοραῖς
13 1 [2] ἐξελθὼν ὁ Ἰησοῦς . . . ἐκάθητο παρὰ τ. θάλασσαν
2 ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα καθῆσθαι
15 29 ἀναβὰς εἰς τὸ ὄρος ἐκάθητο ἐκεῖ
19 28 [1] καθήσεσθε κ. ὑμεῖς ἐπὶ δώδεκα θρόνους καθίσεσθε, T
20 30 [2] δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδόν
22 44 κάθου ἐκ δεξιῶν μου
שֵׁב לִימִינִי, Ps. cx. 1
23 22 ὀμνύει . . . ἐν τ. καθημένῳ ἐπάνω αὐτοῦ
24 3 καθημένου δὲ αὐτοῦ ἐπὶ τ. ὄρους τ. ἐλαιῶν
26 58 εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τ. ὑπηρετῶν
64 ὄψεσθε τ. υἱὸν τ. ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τ. δυνάμεως
69 ὁ δὲ Πέτρος ἐκάθητο ἔξω ἐν τ. αὐλῇ
27 19 καθημένου δὲ αὐτοῦ ἐπὶ τ. βήματος
36 καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ
61 καθήμεναι ἀπέναντι τ. τάφου
28 2 ἀπεκύλισεν τ. λίθον κ. ἐκάθητο ἐπάνω αὐτοῦ
Mk 2 6 ἦσαν δέ τινες τ. γραμματέων ἐκεῖ καθήμενοι
14 [1] εἶδεν Λευεὶν . . . καθήμενον ἐπὶ τὸ τελώνιον
3 32 [3] ἐκάθητο περὶ αὐτὸν ὄχλος
34 [3] περιβλεψάμενος τοὺς περὶ αὐτὸν κύκλῳ καθημένους
4 1 ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα καθῆσθαι ἐν τ. θαλάσσῃ
5 15 θεωροῦσιν τ. δαιμονιζόμενον καθήμενον
10 46 [2] Βαρτίμαιος τυφλὸς προσαίτης ἐκάθητο παρὰ τὴν ὁδόν
12 36 κάθου ἐκ δεξιῶν μου, Ps. *l.c.*
κάθισον, WH mg.
13 3 [4] καθημένου αὐτοῦ εἰς τὸ ὄρος τ. ἐλαιῶν
14 62 ὄψεσθε τ. υἱὸν τ. ἀνθρώπου ἐκ δεξιῶν καθήμενον τ. δυνάμεως
16 5 εἶδεν νεανίσκον καθήμενον ἐν τ. δεξιοῖς
Lu 1 79 ἐπιφᾶναι τοῖς ἐν σκότει κ. σκιᾷ θανάτου καθημένοις
5 17 ἦσαν καθήμενοι Φαρισαῖοι κ. νομοδιδάσκαλοι
27 [1] ἐθεάσατο τελώνην . . . καθήμενον ἐπὶ τὸ τελώνιον
7 32 ὅμοιοί εἰσιν παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις
8 35 εὗραν καθήμενον τ. ἄνθρωπον
10 13 πάλαι ἂν ἐν σάκκῳ κ. σποδῷ καθήμενοι μετενόησαν
18 35 [2] τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν ἐπαιτῶν
20 42 κάθου ἐκ δεξιῶν μου, Ps. *l.c.*
21 35 [1] ἐπεισελεύσεται γὰρ ἐπὶ πάντας τ. καθημένους ἐπὶ πρόσωπον πάσης τ. γῆς
22 30 καθῆσθε ἐπὶ θρόνων
καθήσεσθε, TWH marg.
55 ἐκάθητο ὁ Πέτρος μέσος αὐτῶν.
56 [3] ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς
69 ἔσται ὁ υἱὸς τ. ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τ. δυνάμεως τ. Θεοῦ
Jo 2 14 εὗρεν ἐν τ. ἱερῷ . . . τ. κερματιστὰς καθημένους
6 3 ἐκεῖ ἐκάθητο μετὰ τ. μαθητῶν αὐτοῦ
ἐκαθέζετο, T
9 8 οὐχ οὗτός ἐστιν ὁ καθήμενος κ. προσαιτῶν;
12 15 [1] ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶλον ὄνου

מַלְכֵּךְ יָבוֹא לָךְ . . . רֹכֵב . . . עַל־עַיִר בֶּן־אֲתֹנוֹת, Zech. ix. 9

Ac 2 2 ἐπλήρωσεν ὅλον τ. οἶκον οὗ ἦσαν καθήμενοι
34 κάθου ἐκ δεξιῶν μου, Ps. *l.c.*
3 10 [3] οὗτος ἦν ὁ πρὸς τ. ἐλεημοσύνην καθήμενος ἐπὶ τ. Ὡραίᾳ Πύλῃ τ. ἱεροῦ
8 28 ἦν δὲ ὑποστρέφων κ. καθήμενος ἐπὶ τ. ἅρματος αὐτοῦ
14 8 κ. τις ἀνὴρ ἀδύνατος ἐν Λύστροις τ. ποσὶν ἐκάθητο
23 3 σὺ κάθῃ κρίνων με κατὰ τ. νόμον
1Co 14 30 ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ
Col 3 1 οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τ. Θεοῦ καθήμενος
He 1 13 κάθου ἐκ δεξιῶν μου, Ps. *l.c.*
Ja 2 3 σὺ κάθου ὧδε καλῶς
3 [3] σὺ στῆθι ἢ κάθου ἐκεῖ ὑπὸ τ. ὑποπόδιόν μου
στ. ἐκεῖ ἢ κάθ., TWH mg. R
Re 4 2 [1] θρόνος ἔκειτο ἐν τ. οὐρανῷ κ. ἐπὶ τ. θρόνον καθήμενος·
3 κ. ὁ καθήμενος ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι
4 [1] ἐπὶ τ. θρόνους εἴκοσι τέσσαρας πρεσβυτέρους καθημένους
9 εὐχαριστίαν τ. καθημένῳ ἐπὶ τ. θρόνου
10 ἐνώπιον τ. καθημένου ἐπὶ τ. θρόνου
5 1 ἐπὶ τ. δεξιὰν τ. καθημένου ἐπὶ τ. θρόνου
7 ἐκ τ. δεξιᾶς τ. καθημένου ἐπὶ τ. θρόνου
13 τ. καθημένῳ ἐπὶ τ. θρόνου κ. τ. ἀρνίῳ ἡ εὐλογία
6 2 [1] ὁ καθήμενος ἐπ' αὐτὸν ἔχων τόξον
4 [1] τ. καθημένῳ ἐπ' αὐτὸν ἐδόθη αὐτῷ λαβεῖν τ. εἰρήνην
5 [1] ὁ καθήμενος ἐπ' αὐτὸν ἔχων ζυγὸν ἐν τ. χειρὶ αὐτοῦ
8 ἵππος χλωρὸς κ. ὁ καθήμενος ἐπάνω αὐτοῦ
16 κρύψατε ἡμᾶς ἀπὸ προσώπου τ. καθημένου ἐπὶ τ. θρόνου
7 10 ἡ σωτηρία τ. Θεῷ ἡμῶν τ. καθημένῳ ἐπὶ τ. θρόνῳ
15 ὁ καθήμενος ἐπὶ τ. θρόνου σκηνώσει ἐπ' αὐτούς
9 17 εἶδον τ. ἵππους . . . κ. τ. καθημένους ἐπ' αὐτῶν
11 16 οἱ ἐνώπιον τ. Θεοῦ καθήμενοι ἐπὶ τ. θρόνους αὐτῶν
οἱ . . . κάθηνται, TWH marg. R
14 16 εὐαγγελίσαι ἐπὶ τ. καθημένους ἐπὶ τ. γῆς
14 [1] ἐπὶ τ. νεφέλην καθήμενον ὅμοιον υἱὸν ἀνθρώπου
15 κράζων ἐν φωνῇ μεγάλῃ τ. καθημένῳ ἐπὶ τ. νεφέλης
16 ἔβαλεν ὁ καθήμενος ἐπὶ τ. νεφέλης τὸ δρέπανον αὐτοῦ
17 1 τὸ κρίμα τ. πόρνης . . . τ. καθημένης ἐπὶ ὑδάτων πολλῶν
3 [1] εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον
9 ὅπου ἡ γυνὴ κάθηται ἐπ' αὐτῶν
15 οὗ ἡ πόρνη κάθηται
18 7 κάθημαι βασίλισσα κ. χήρα οὐκ εἰμί
19 4 προσεκύνησαν τ. Θεῷ τ. καθημένῳ ἐπὶ τ. θρόνῳ
11 [1] ἵππος λευκὸς κ. ὁ καθήμενος ἐπ' αὐτόν
18 σάρκας ἵππων κ. τ. καθημένων ἐπ' αὐτούς
Re 19 19 ποιῆσαι τ. πόλεμον μετὰ τ. καθημένου ἐπὶ τ. ἵππου
21 ἀπεκτάνθησαν ἐν τ. ῥομφαίᾳ τ. καθημένου ἐπὶ τ. ἵππου
20 11 θρόνον μέγαν λευκὸν κ. τ. καθήμενον ἐπ' αὐτοῦ
21 5 εἶπεν ὁ καθήμενος ἐπὶ τ. θρόνῳ

ΚΑΘΗΜΕΡΙΝΟ΄Σ**

Ac 6 1 παρεθεωροῦντο ἐν τ. διακονίᾳ τ. καθημερινῇ αἱ χῆραι αὐτῶν

ΚΑΘΙ΄ΖΩ

(1) trans. (2) seq. prep. c. acc.

Mt 5 1 καθίσαντος αὐτοῦ προσῆλθαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ
13 48 καθίσαντες συνέλεξαν τὰ καλὰ εἰς ἄγγη
19 28 ὅταν καθίσῃ ὁ υἱὸς τ. ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ,
[2] καθίσεσθε κ. αὐτοὶ ἐπὶ δώδεκα θρόνους καθήσεσθε, WH
20 21 εἰπὲ ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου
23 τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου κ. ἐξ εὐωνύμων
23 2 ἐπὶ τῆς Μωυσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς
25 31 τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ
26 36 καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν ἐκεῖ προσεύξωμαι
Mk 9 35 καθίσας ἐφώνησεν τ. δώδεκα
10 37 ἵνα εἷς σου ἐκ δεξιῶν κ. εἷς ἐξ ἀριστερῶν καθίσωμεν
40 τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου ἢ ἐξ εὐωνύμων
11 2 [2] ἐφ' ὃν οὐδεὶς οὔπω ἀνθρώπων ἐκάθισεν κεκάθικεν, T
7 [2] ἐκάθισεν ἐπ' αὐτόν
12 41 καθίσας κατέναντι τ. γαζοφυλακίου
14 32 καθίσατε ὧδε ἕως προσεύξωμαι
16 [19 ἐκάθισεν ἐκ δεξιῶν τ. Θεοῦ
Lu 4 20 ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν
5 3 καθίσας δὲ ἐν τ. πλοίῳ ἐδίδασκεν τ. ὄχλους
7 15 ἐκάθισεν ὁ νεκρὸς κ. ἤρξατο λαλεῖν ἀνεκάθισεν, TWH non mg. R
14 28 οὐχὶ πρῶτον καθίσας ψηφίζει τ. δαπάνην
31 οὐχὶ καθίσας πρῶτον βουλεύσεται
16 6 καθίσας ταχέως γράψον πεντήκοντα
19 30 [2] ἐφ' ὃν οὐδεὶς πώποτε ἀνθρώπων ἐκάθισεν
24 49 ὑμεῖς δὲ καθίσατε ἐν τ. πόλει
Jo 8 [2 καθίσας ἐδίδασκεν αὐτούς
12 14 [2] εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον ἐκάθισεν ἐπ' αὐτό
19 13 ἐκάθισεν ἐπὶ βήματος
Ac 2 3 [2] ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν
30 [1] καθίσαι ἐπὶ τ. θρόνον αὐτοῦ
8 31 παρεκάλεσέν τε τ. Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ
12 21 καθίσας ἐπὶ τ. βήματος
13 14 ἐλθόντες εἰς τ. συναγωγὴν . . . ἐκάθισαν
16 13 καθίσαντες ἐλαλοῦμεν τ. συνελθούσαις γυναιξίν
18 11 ἐκάθισεν δὲ ἐνιαυτὸν κ. μῆνας ἕξ
25 6 τῇ ἐπαύριον καθίσας ἐπὶ τ. βήματος
17 τῇ ἑξῆς καθίσας ἐπὶ τ. βήματος
1 Co 6 4 [1] τ. ἐξουθενημένους ἐν τ. ἐκκλησίᾳ τούτους καθίζετε;

1Co10 7 ἐκάθισεν ὁ λαὸς φαγεῖν κ. πεῖν
וַיֵּשֶׁב הָעָם לֶאֱכֹל וְשָׁתוֹ, Ex. xxxii. 6
Eph 1 20 [1] καθίσας ἐν δεξιᾷ αὐτοῦ ἐν τ. ἐπουρανίοις
II Th 2 4 [2] ὥστε αὐτὸν εἰς τ. ναὸν τ. Θεοῦ καθίσαι
He 1 3 ἐκάθισεν ἐν δεξιᾷ τ. μεγαλωσύνης ἐν ὑψηλοῖς
8 1 ὃς ἐκάθισεν ἐν δεξιᾷ τ. θρόνου τ. μεγαλωσύνης ἐν τ. οὐρανοῖς
10 12 εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τ. Θεοῦ
12 2 ἐν δεξιᾷ τε τ. θρόνου τ. Θεοῦ κεκάθικεν
Re 3 21 δώσω αὐτῷ καθίσαι μετ' ἐμοῦ ἐν τ. θρόνῳ μου,
ὡς κἀγὼ . . . ἐκάθισα μετὰ τ. πατρός μου ἐν τ. θρόνῳ αὐτοῦ
20 4 [2] εἶδον θρόνους κ. ἐκάθισαν ἐπ' αὐτούς

ΚΑΘΙ'ΗΜΙ

Lu 5 19 διά τε κεράμων καθῆκαν αὐτὸν σὺν τ. κλινιδίῳ
Ac 9 25 διὰ τ. τείχους καθῆκαν αὐτόν
10 11 τέσσαρσιν ἀρχαῖς καθιέμενον ἐπὶ τ. γῆς
11 5 τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τ. οὐρανοῦ

ΚΑΘΙ'ΣΤΗΜΙ

(1) καθιστάνω

Mt 24 45 ὃν κατέστησεν ὁ κύριος ἐπὶ τ. οἰκετείας αὐτοῦ
47 ἐπὶ πᾶσι τ. ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν
25 21 ἐπὶ πολλῶν σε καταστήσω
23 ἐπὶ πολλῶν σε καταστήσω
Lu 12 14 τίς με κατέστησεν κριτὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς
42 ὃν καταστήσει ὁ κύριος ἐπὶ τ. θεραπείας αὐτοῦ
44 ἐπὶ πᾶσι τ. ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν
Ac 6 3 οὓς καταστήσομεν ἐπὶ τ. χρείας ταύτης
7 10 κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον
27 τίς σε κατέστησεν ἄρχοντα κ. δικαστὴν ἐφ' ἡμῶν;
מִי שָׂמְךָ לְאִישׁ שַׂר וְשֹׁפֵט עָלֵינוּ, Ex. ii. 14
35 τίς σε κατέστησεν ἄρχοντα κ. δικαστήν, Ex. *l.c.*
17 15 [1] οἱ δὲ καθιστάνοντες τ. Παῦλον
Ro 5 19 ὥσπερ γὰρ διὰ τ. παρακοῆς . . . ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί,
οὕτως κ. διὰ τ. ὑπακοῆς . . . δίκαιοι κατασταθήσονται οἱ πολλοί
Tit 1 5 ἵνα . . . καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους
He 2 7 κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τ. χειρῶν σου —h. v., T [WH] R mg.
תַּמְשִׁילֵהוּ בְּמַעֲשֵׂי יָדֶיךָ, Ps. viii. 7
5 1 ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τ. Θεόν
7 28 ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς
8 3 πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε κ. θυσίας καθίσταται
Ja 3 6 ἡ γλῶσσα καθίσταται ἐν τ. μέλεσιν ἡμῶν
4 4 ἐχθρὸς τ. Θεοῦ καθίσταται
II Pe 1 8 οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν

ΚΑΘΟ'

Ro 8 26 τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ
II Co 8 12 καθὸ ἐὰν ἔχῃ εὐπρόσδεκτος, οὐ καθὸ οὐκ ἔχει
I Pe 4 13 καθὸ κοινωνεῖτε τοῖς τ. Χριστοῦ παθήμασιν

ΚΑΘΟ'ΛΟΥ

Ac 4 18 παρήγγειλεν καθόλου μὴ φθέγγεσθαι

ΚΑΘΟΠΛΙ'ΖΟΜΑΙ

Lu 11 21 ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλήν

ΚΑΘΟΡΑ'Ω

Ro 1 20 τὰ γὰρ ἀόρατα αὐτοῦ . . . τ. ποιήμασι νοούμενα καθορᾶται

ΚΑΘΟ'ΤΙ

Lu 1 7 καθότι ἦν ἡ Ἐλεισάβετ στεῖρα
19 9 καθότι κ. αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν
Ac 2 24 καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ
45 καθότι ἄν τις χρείαν εἶχεν
4 35 καθότι ἄν τις χρείαν εἶχεν
17 31 καθότι ἔστησεν ἡμέραν

ΚΑΘΩ'Σ

(1) οὐ καθ. (2) de tempore

Mt 21 6 καθὼς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς
26 24 ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ
28 6 ἠγέρθη γὰρ καθὼς εἶπεν
Mk 1 2 καθὼς γέγραπται ἐν τ. Ἡσαΐᾳ τ. προφήτῃ
4 33 καθὼς ἠδύναντο ἀκούειν
9 13 καθὼς γέγραπται ἐπ' αὐτόν
11 6 οἱ δὲ εἶπαν αὐτοῖς καθὼς εἶπεν ὁ Ἰησοῦς
14 16 εὗρον καθὼς εἶπεν αὐτοῖς
21 ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ
15 8 ἤρξατο αἰτεῖσθαι καθὼς ἐποίει αὐτοῖς
16 7 ἐκεῖ αὐτὸν ὄψεσθε καθὼς εἶπεν ὑμῖν
Lu 1 2 καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται
55 καθὼς ἐλάλησεν πρὸς τ. πατέρας ἡμῶν
70 καθὼς ἐλάλησεν διὰ στόματος τ. ἁγίων ἀπ' αἰῶνος προφητῶν αὐτοῦ
2 20 καθὼς ἐλαλήθη πρὸς αὐτούς
23 καθὼς γέγραπται ἐν νόμῳ Κυρίου
5 14 καθὼς προσέταξεν Μωυσῆς
6 31 καθ. θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι
36 καθὼς ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν
11 1 καθ. κ. Ἰωάνης ἐδίδαξεν τ. μαθητὰς αὐτοῦ
30 καθὼς γὰρ ἐγένετο ὁ Ἰωνᾶς τ. Νινευείταις σημεῖον
17 26 καθὼς ἐγένετο ἐν τ. ἡμέραις Νῶε
28 ὁμοίως καθ. ἐγένετο ἐν τ. ἡμέραις Λώτ
19 32 εὗρον καθὼς εἶπεν αὐτοῖς
22 13 ἀπελθόντες δὲ εὗρον καθ. εἰρήκει αὐτοῖς
29 καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν
24 24 εὗρον οὕτως καθ. αἱ γυναῖκες εἶπον
39 καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα
Jo 1 23 καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης
3 14 καθ. Μωυσῆς ὕψωσεν τ. ὄφιν ἐν τῇ ἐρήμῳ
5 23 καθὼς τιμῶσιν τ. πατέρα
30 καθὼς ἀκούω κρίνω

Jo 6 31 καθώς ἐστιν γεγραμμένον
57 καθὼς ἀπέστειλέν με ὁ ζῶν πατήρ
58 [1] οὐ καθ. ἔφαγον οἱ πατέρες κ. ἀπέθανον
7 38 καθὼς εἶπεν ἡ γραφή
8 28 καθὼς ἐδίδαξέν με ὁ πατήρ
10 15 καθὼς γινώσκει με ὁ πατηρ
12 14 καθώς ἐστιν γεγραμμένον
50 καθὼς εἴρηκέν μοι ὁ πατὴρ οὕτως λαλῶ
13 15 καθ. ἐγὼ ἐποίησα ὑμῖν κ. ὑμεῖς ποιῆτε
33 καθὼς εἶπον τ. Ἰουδαίοις
34 καθ. ἠγάπησα ὑμᾶς ἵνα κ. ὑμεῖς ἀγαπᾶτε ἀλλήλους
14 27 [1] οὐ καθὼς ὁ κόσμος δίδωσιν
31 καθὼς ἐντολὴν ἔδωκέν μοι ὁ πατήρ
15 4 καθ. τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ
9 καθὼς ἠγάπησέν με ὁ πατήρ
10 καθ. ἐγὼ τ. πατρὸς τ. ἐντολὰς τετήρηκα
12 ἵνα ἀγαπᾶτε ἀλλήλους καθ. ἠγάπησα ὑμᾶς
17 2 καθ. ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός
11 ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς
14 καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τ. κόσμου
16 καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τ. κόσμου
18 καθὼς ἐμὲ ἀπέστειλας εἰς τ. κόσμον
21 καθ. σὺ πατὴρ ἐν ἐμοὶ κἀγὼ ἐν σοί
22 ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν
23 ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας
19 40 καθὼς ἔθος ἐστὶν τ. Ἰουδαίοις ἐνταφιάζειν
20 21 καθὼς ἀπέσταλκέν με ὁ πατήρ
Ac 2 4 καθ. τὸ πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς
22 καθὼς αὐτοὶ οἴδατε
7 17 [2] καθ. δὲ ἤγγιζεν ὁ χρόνος τ. ἐπαγγελίας
42 καθ. γέγραπται ἐν βίβλῳ τ. προφητῶν
44 καθ. διετάξατο ὁ λαλῶν τ. Μωυσῇ
48 καθὼς ὁ προφήτης λέγει
11 29 καθὼς εὐπορεῖτό τις
15 8 δοὺς τὸ πνεῦμα τὸ ἅγιον καθὼς κ. ἡμῖν
14 καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο
15 καθὼς γέγραπται
22 3 καθὼς πάντες ὑμεῖς ἐστὲ σήμερον
Ro 1 13 καθὼς κ. ἐν τ. λοιποῖς ἔθνεσιν
17 καθὼς γέγραπται
28 καθὼς οὐκ ἐδοκίμασαν τ. Θεὸν ἔχειν ἐν ἐπιγνώσει
2 24 καθὼς γέγραπται
3 8 μὴ καθὼς βλασφημούμεθα, κ. καθὼς φασί τινες ἡμᾶς λέγειν
10 καθὼς γέγραπται
4 17 καθὼς γέγραπται
8 36 καθὼς γέγραπται
9 13 καθὼς γέγραπται
καθάπερ, WH non mg.
29 καθὼς προείρηκεν Ἠσαΐας
33 καθὼς γέγραπται
10 15 καθὼς γέγραπται
καθάπερ, WH non mg.
11 26 καθὼς γέγραπται
15 3 ἀλλὰ καθὼς γέγραπται
7 καθὼς κ. ὁ Χριστὸς προσελάβετο ἡμᾶς
9 καθὼς γέγραπται
21 ἀλλὰ καθὼς γέγραπται
I Co 1 6 καθ. τὸ μαρτύριον τ. Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν
31 καθὼς γέγραπται
2 9 ἀλλὰ καθὼς γέγραπται
4 17 καθ. πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω
I Co 5 7 καθώς ἐστε ἄζυμοι
8 2 οὔπω ἔγνω καθὼς δεῖ γνῶναι
10 6 καθὼς κἀκεῖνοι ἐπεθύμησαν.
7 μηδὲ εἰδωλολάτραι γίνεσθε καθώς τινες αὐτῶν
8 καθώς τινες αὐτῶν ἐπόρνευσαν
9 καθὼς τινες αὐτῶν ἐπείρασαν
33 καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω
11 1 μιμηταί μου γίνεσθε καθ. κἀγὼ Χριστοῦ
2 καθὼς παρέδωκα ὑμῖν τ. παραδόσεις κατέχετε
12 11 διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται
18 νῦν δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη . . . καθ. ἠθέλησεν
13 12 τότε δὲ ἐπιγνώσομαι καθ. κ. ἐπεγνώσθην
14 34 καθὼς κ. ὁ νόμος λέγει
15 38 ὁ δὲ Θεὸς δίδωσιν αὐτῷ σῶμα καθ. ἠθέλησεν
49 καθὼς ἐφορέσαμεν τ. εἰκόνα τ. χοϊκοῦ
II Co 1 5 καθ. περισσεύει τὰ παθήματα τ. Χριστοῦ εἰς ἡμᾶς
14 καθὼς κ. ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους
4 1 καθὼς ἠλεήθημεν
6 16 καθὼς εἶπεν ὁ Θεός
8 5 [1] οὐ καθὼς ἠλπίσαμεν
6 ἵνα καθ. προενήρξατο οὕτως κ. ἐπιτελέσῃ
15 καθὼς γέγραπται
9 3 ἵνα καθ. ἔλεγον παρεσκευασμένοι ἦτε
7 ἕκαστος καθὼς προῄρηται τ. καρδίᾳ
9 καθὼς γέγραπται
10 7 καθ. αὐτὸς Χριστοῦ οὕτως κ. ἡμεῖς
11 12 ἵνα ἐν ᾧ καύχωνται εὑρεθῶσιν καθ. κ. ἡμεῖς
Ga 2 7 καθὼς Πέτρος τ. περιτομῆς
3 6 καθὼς Ἀβραὰμ ἐπίστευσεν τ. Θεῷ
5 21 ἃ προλέγω ὑμῖν καθὼς προεῖπον
Eph 1 4 καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου
3 3 καθὼς προέγραψα ἐν ὀλίγῳ
4 4 καθὼς κ. ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τ. κλήσεως ὑμῶν
17 καθὼς κ. τὰ ἔθνη περιπατεῖ
21 καθὼς ἔστιν ἀλήθεια ἐν τ. Χριστῷ
32 καθ. κ. ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν
5 2 καθὼς κ. ὁ Χριστὸς ἠγάπησεν ὑμᾶς
3 καθὼς πρέπει ἁγίοις
25 καθὼς κ. ὁ Χριστὸς ἠγάπησεν τ. ἐκκλησίαν
29 θάλπει αὐτὴν καθ. κ. ὁ Χριστὸς τ. ἐκκλησίαν
Phl 1 7 καθώς ἐστιν δίκαιον ἐμοὶ τοῦτο φρονεῖν
2 12 καθὼς πάντοτε ὑπηκούσατε
3 17 καθὼς ἔχετε τύπον ἡμᾶς
Col 1 6 καθὼς κ. ἐν παντὶ τ. κόσμῳ
6 αὐξανόμενον καθὼς κ. ἐν ὑμῖν
7 καθὼς ἐμάθετε ἀπὸ Ἐπαφρᾶ
2 7 καθὼς ἐδιδάχθητε
3 13 καθὼς κ. ὁ Κύριος ἐχαρίσατο ὑμῖν
I Th 1 5 καθ. οἴδατε οἷοι ἐγενήθημεν ὑμῖν δι' ὑμᾶς
2 2 ὑβρισθέντες καθ. οἴδατε ἐν Φιλίπποις
4 καθὼς δεδοκιμάσμεθα ὑπὸ τ. Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον
5 οὔτε γάρ ποτε ἐν λόγῳ κολακίας ἐγενήθημεν καθὼς οἴδατε
13 ἀλλὰ καθ. ἀληθῶς ἐστὶν λόγον Θεοῦ
14 καθὼς κ. αὐτοὶ ὑπὸ τ. Ἰουδαίων
3 4 καθὼς κ. ἐγένετο κ. οἴδατε
4 1 καθ. παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν
1 καθὼς κ. περιπατεῖτε

I Th 4 6 καθὼς κ. προείπαμεν ὑμῖν
11 καθὼς ὑμῖν παρηγγείλαμεν
13 καθὼς κ. οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα
5 11 οἰκοδομεῖτε εἷς τ. ἕνα καθ. κ. ποιεῖτε
II Th 1 3 καθὼς ἄξιόν ἐστιν
3 1 ἵνα . . . δοξάζηται καθὼς κ. πρὸς ὑμᾶς
I Ti 1 3 καθ. παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ
He 3 7 καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον
4 3 καθὼς εἴρηκεν
7 καθὼς προείρηται
5 3 καθ. περὶ τ. λαοῦ οὕτως κ. περὶ ἑαυτοῦ προσφέρειν
6 καθὼς κ. ἐν ἑτέρῳ λέγει
8 5 καθὼς κεχρημάτισται Μωυσῆς
10 25 καθὼς ἔθος τισίν
11 12 καθὼς τὰ ἄστρα τ. οὐρανοῦ τ. πλήθει
I Pe 4 10 ἕκαστος καθὼς ἔλαβεν χάρισμα
II Pe 1 14 καθὼς κ. ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέν μοι
3 15 καθὼς κ. ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος
I Jo 2 6 καθὼς ἐκεῖνος περιεπάτησεν
18 καθ. ἠκούσατε ὅτι ἀντίχριστος ἔρχεται
27 καθ. ἐδίδαξεν ὑμᾶς μένετε ἐν αὐτῷ
3 2 ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστιν
3 ἁγνίζει ἑαυτὸν καθ. ἐκεῖνος ἁγνός ἐστιν
7 δίκαιός ἐστιν καθ. ἐκεῖνος δίκαιός ἐστιν
12 [1] οὐ καθ. Καὶν ἐκ τ. πονηροῦ ἦν
23 καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν
4 17 ὅτι καθ. ἐκεῖνός ἐστιν κ. ἡμεῖς ἐσμὲν ἐν τ. κόσμῳ τούτῳ
II Jo 4 καθ. ἐντολὴν ἐλάβομεν παρὰ τ. πατρός
6 καθὼς ἠκούσατε ἀπ' ἀρχῆς
III Jo 2 καθὼς εὐοδοῦταί σου ἡ ψυχή
3 καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς

ΚΑΘΩ΄ΣΠΕΡ *†

II Co 3 18 καθώσπερ ἀπὸ Κυρίου πνεύματος
καθάπερ, TWH non mg.
He 5 4 καθώσπερ κ. Ἀαρών

ΚΑΙΑ΄ΦΑΣ

Καϊάφας, T

Mt 26 3 εἰς τ. αὐλὴν τ. ἀρχιερέως τ. λεγομένου Καιάφα
57 ἀπήγαγον πρὸς Καιάφαν τ. ἀρχιερέα
Lu 3 2 ἐπὶ ἀρχιερέως Ἄννα κ. Καιάφα
Jo 11 49 εἷς δέ τις ἐξ αὐτῶν Καιάφας
18 13 ἦν γὰρ πενθερὸς τοῦ Καιάφα
14 ἦν δὲ Καιάφας ὁ συμβουλεύσας τ. Ἰουδαίοις
24 ἀπέστειλεν οὖν αὐτὸν . . . πρὸς Καιάφαν τ. ἀρχιερέα
28 ἄγουσιν οὖν τ. Ἰησοῦν ἀπὸ τ. Καιάφα εἰς τὸ πραιτώριον
Ac 4 6 Ἄννας ὁ ἀρχιερεὺς κ. Καιάφας

ΚΑΙ΄Ν

Κάϊν, T

He 11 4 πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Καὶν προσήνεγκεν
I Jo 3 12 οὐ καθὼς Καὶν ἐκ τ. πονηροῦ ἦν
Ju 11 ὅτι τῇ ὁδῷ τοῦ Καὶν ἐπορεύθησαν

ΚΑΙΝΑ΄Μ

Καινάν, R

Lu 3 36 τοῦ Σαλὰ τοῦ Καινὰμ τοῦ Ἀρφαξάδ
37 τοῦ Μαλελεὴλ τοῦ Καινὰμ τοῦ Ἐνώς

ΚΑΙΝΟ΄Σ

(1) καινότερος (2) καινὸς . . . παλαιός, ἀρχαῖος

Mt 9 17 [2] βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινούς
13 52 [2] ὅστις ἐκβάλλει ἐκ τ. θησαυροῦ αὐτοῦ καινὰ κ. παλαιά
26 28 τοῦτό ἐστιν τὸ αἷμά μου τ. καινῆς διαθήκης
—καιν., TWHR non mg.
29 ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινόν
27 60 ἔθηκεν αὐτὸ ἐν τ. καινῷ αὐτοῦ μνημείῳ
Mk 1 27 τί ἐστιν τοῦτο; διδαχὴ καινή
2 21 [2] αἴρει τὸ πλήρωμα ἀπ' αὐτοῦ τὸ καινὸν τ. παλαιοῦ
22 [2] ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινούς
—h. v., T [WH]
14 24 τοῦτό ἐστιν τὸ αἷμά μου τ. καινῆς διαθήκης
—καιν., TWHR non mg.
25 ὅταν αὐτὸ πίνω καινὸν ἐν τ. βασιλείᾳ τ. Θεοῦ
16 [17 γλώσσαις λαλήσουσιν καιναῖς
—καιν., WH non mg. R mg.
Lu 5 36 [2] οὐδεὶς ἐπίβλημα ἀπὸ ἱματίου καινοῦ σχίσας
36 εἰ δὲ μήγε κ. τὸ καινὸν σχίσει,
[2] κ. τ. παλαιῷ οὐ συμφωνήσει τὸ ἐπίβλημα τὸ ἀπὸ τ. καινοῦ
38 [2] ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον
22 20 τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τ. αἵματί μου
Jo 13 34 ἐντολὴν καινὴν δίδωμι ὑμῖν
19 41 ἐν τ. κήπῳ μνημεῖον καινόν
Ac 17 19 τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή;
21 [1] ἢ λέγειν τι ἢ ἀκούειν τι καινότερον
I Co 11 25 τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστίν
II Co 3 6 ὃς κ. ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης
5 17 ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις·
[2] τὰ ἀρχαῖα παρῆλθεν ἰδοὺ γέγονεν καινά
Ga 6 15 οὔτε ἀκροβυστία ἀλλὰ καινὴ κτίσις
Eph 2 15 ἵνα τ. δύο κτίσῃ ἐν αὐτῷ εἰς ἕνα καινὸν ἄνθρωπον
4 24 [2] ἐνδύσασθαι τ. καινὸν ἄνθρωπον
He 8 8 συντελέσω ἐπὶ τ. οἶκον Ἰσραὴλ . . . διαθήκην καινήν
כָּרַתִּי אֶת־בֵּית יִשְׂרָאֵל . . . בְּרִית חֲדָשָׁה
Jer. xxxi. 31
13 ἐν τ. λέγειν Καινὴν πεπαλαίωκεν τ. πρώτην
9 15 διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστίν
II Pe 3 13 καινοὺς δὲ οὐρανοὺς κ. καινὴν γῆν . . . προσδοκῶμεν
γῆν καιν., T
I Jo 2 7 [2] οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν
8 πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν
II Jo 5 οὐχ ὡς ἐντολὴν γράφων σοι καινήν
καιν. γρ. σοι, T

Re 2 17 ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν γεγραμμένον
3 12 τὸ ὄνομα τ. πόλεως τ. Θεοῦ μου τ. καινῆς Ἱερουσαλήμ
12 τὸ ὄνομά μου τὸ καινόν
5 9 ᾄδουσιν ᾠδὴν καινήν
14 3 ᾄδουσιν ὡς ᾠδὴν καινὴν ἐνώπιον τ. θρόνου
21 1 εἶδον οὐρανὸν καινὸν κ. γῆν καινήν
2 τ. πόλιν τ. ἁγίαν Ἱερουσαλὴμ καινὴν εἶδον
5 ἰδοὺ καινὰ ποιῶ πάντα

ΚΑΙΝΟ΄ΤΗΣ

Ro 6 4 οὕτως κ. ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν
7 6 ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος

ΚΑΙ΄ΠΕΡ

Phl 3 4 καίπερ ἐγὼ ἔχων πεποίθησιν κ. ἐν σαρκί
He 5 8 καίπερ ὢν υἱός
7 5 καίπερ ἐξεληλυθότας ἐκ τ. ὀσφύος Ἀβραάμ
12 17 καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν
IIPe 1 12 μελλήσω ἀεὶ ὑμᾶς ὑπομιμνήσκειν περὶ τούτων καίπερ εἰδότας

ΚΑΙΡΟ΄Σ

(1) ἄχρι, πρὸ καιροῦ (2) πρὸς, κατὰ καιρόν (3) καιροί (4) ὁ νῦν καιρός, καιρ. οὗτος, ἐνεστηκώς

Mt 8 29 [1] ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς
11 25 ἐν ἐκείνῳ τ. καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς
12 1 ἐν ἐκείνῳ τ. καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς
13 30 ἐν καιρῷ τ. θερισμοῦ ἐρῶ τ. θερισταῖς
14 1 ἐν ἐκείνῳ τ. καιρῷ ἤκουσεν Ἡρῴδης ὁ τετραάρχης
16 3 [3] τὰ δὲ σημεῖα τ. καιρῶν οὐ δύνασθε
21 34 ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τ. καρπῶν
41 [3] οἵτινες ἀποδώσουσιν αὐτῷ τ. καρπούς ἐν τ. καιροῖς αὐτῶν
24 45 τοῦ δοῦναι αὐτοῖς τ. τροφὴν ἐν καιρῷ
26 18 ὁ καιρός μου ἐγγύς ἐστιν
Mk 1 15 πεπλήρωται ὁ καιρός
10 30 [4] ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τ. καιρῷ τούτῳ
11 13 ὁ γὰρ καιρὸς οὐκ ἦν σύκων
12 2 ἀπέστειλεν πρὸς τ. γεωργοὺς τ. καιρῷ δοῦλον
13 33 οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν
Lu 1 20 οἵτινες πληρωθήσονται εἰς τ. καιρὸν αὐτῶν
4 13 [1] ὁ διάβολος ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ
8 13 [2] οἱ πρὸς καιρὸν πιστεύουσιν, κ. ἐν καιρῷ πειρασμοῦ ἀφίστανται
12 42 τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον
56 [4] τὸν καιρὸν δὲ τοῦτον πῶς οὐκ οἴδατε δοκιμάζειν
τ. δὲ καιρ., TWH marg.
13 1 παρῆσαν δέ τινες ἐν αὐτῷ τ. καιρῷ
18 30 [4] ὃς οὐχὶ μὴ λάβῃ πολλαπλασίονα ἐν τ. καιρῷ τούτῳ
19 44 ἀνθ' ὧν οὐκ ἔγνως τ. καιρὸν τ. ἐπισκοπῆς σου
20 10 καιρῷ ἀπέστειλεν πρὸς τ. γεωργοὺς δοῦλον
21 8 ὁ καιρὸς ἤγγικεν
24 [3] ἄχρι οὗ πληρωθῶσιν καιροὶ ἐθνῶν
36 ἀγρυπνεῖτε δὲ ἐν παντὶ καιρῷ δεόμενοι

Jo 5 [4 [2] ἄγγελος γὰρ Κυρίου κατὰ καιρὸν κατέβαινεν ἐν τ. κολυμβήθρᾳ
—h. v., TWHR non mg.
7 6 ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν· ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος
8 ὅτι ὁ ἐμὸς καιρὸς οὔπω πεπλήρωται
Ac 1 7 [3] οὐχ ὑμῶν ἐστὶν γνῶναι χρόνους ἢ καιρούς
3 19 [3] ὅπως ἂν ἔλθωσιν καιροὶ ἀναψύξεως
7 20 ἐν ᾧ καιρῷ ἐγεννήθη Μωυσῆς
12 1 κατ' ἐκεῖνον δὲ τ. καιρὸν ἐπέβαλεν Ἡρῴδης . . . τ. χεῖρας
13 11 [1] μὴ βλέπων τ. ἥλιον ἄχρι καιροῦ
14 17 [3] οὐρανόθεν ὑμῖν ὑετοὺς διδοὺς κ. καιροὺς καρποφόρους
17 26 [3] ὁρίσας προστεταγμένους καιρούς
19 23 [2] ἐγένετο δὲ κατὰ τ. καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος
24 25 καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε
Ro 3 26 [4] πρὸς τ. ἔνδειξιν τ. δικαιοσύνης αὐτοῦ ἐν τ. νῦν καιρῷ
5 6 [2] κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανεν
8 18 [4] οὐκ ἄξια τὰ παθήματα τ. νῦν καιροῦ
9 9 [2] κατὰ τ. καιρὸν τοῦτον ἐλεύσομαι
שׁוּב אָשׁוּב אֵלֶיךָ כָּעֵת חַיָּה, Gen. xviii. 10
11 5 [4] ἐν τ. νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν
12 11 τ. καιρῷ δουλεύοντες Κυρίῳ, TWHR non mg.
13 11 κ. τοῦτο εἰδότες τ. καιρόν
I Co 4 5 [1] μὴ πρὸ καιροῦ τι κρίνετε
7 5 [2] εἰ μήτι ἂν ἐκ συμφώνου πρὸς καιρόν
29 ὁ καιρὸς συνεσταλμένος
IICo 6 2 καιρῷ δεκτῷ ἐπήκουσά σου
בְּעֵת רָצוֹן עֲנִיתִיךָ, Is. xlix. 8
2 ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος
8 13 [4] ἐν τ. νῦν καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα
Ga 4 10 [3] ἡμέρας παρατηρεῖσθε κ. μῆνας κ. καιροὺς
6 9 καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι.
10 ἄρα οὖν ὡς καιρὸν ἔχωμεν
Eph 1 10 [3] εἰς οἰκονομίαν τ. πληρώματος τ. καιρῶν
2 12 ὅτι ἦτε τ. καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ
5 16 ὡς σοφοὶ ἐξαγοραζόμενοι τ. καιρόν
6 18 προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν πνεύματι
Col 4 5 τ. καιρὸν ἐξαγοραζόμενοι
I Th 2 17 [2] ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας
5 1 [3] περὶ δὲ τ. χρόνων κ. τ. καιρῶν
IITh 2 6 εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τ. αὐτοῦ καιρῷ
I Ti 2 6 [3] τὸ μαρτύριον καιροῖς ἰδίοις
4 1 [3] ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τ. πίστεως
6 15 [3] ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος κ. μόνος δυνάστης
II Ti 3 1 [3] ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί
4 3 ἔσται γὰρ καιρὸς ὅτε τ. ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται
6 ὁ καιρὸς τ. ἀναλύσεώς μου ἐφέστηκεν
Tit 1 3 [3] ἐφανέρωσεν δὲ καιροῖς ἰδίοις τ. λόγον αὐτοῦ
He 9 9 [4] ἥτις παραβολὴ εἰς τ. καιρὸν τ. ἐνεστηκότα
10 μέχρι καιροῦ διορθώσεως ἐπικείμενα
11 11 δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβεν κ. παρὰ καιρὸν ἡλικίας

He 11 15 εἶχον ἂν καιρὸν ἀνακάμψαι
1 Pe 1 5 εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ
11 εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ
4 17 ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα
5 6 ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ
Re 1 3 ὁ γὰρ καιρὸς ἐγγύς
11 18 ὁ καιρὸς τ. νεκρῶν κριθῆναι
12 12 εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει
14 [3] ὅπου τρέφεται ἐκεῖ καιρὸν κ. καιροὺς κ. ἥμισυ καιροῦ
22 10 ὁ καιρὸς γὰρ ἐγγύς ἐστιν

ΚΑΙ῎ΣΑΡ

Mt 22 17 ἔξεστιν δοῦναι κῆνσον Καίσαρι ἢ οὔ;
21 λέγουσιν Καίσαρος
21 ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι
Mk 12 14 ἔξεστιν δοῦναι κῆνσον Καίσαρι ἢ οὔ; κῆνσ. Κ. δοῦν., T
16 οἱ δὲ εἶπαν αὐτῷ Καίσαρος
17 τὰ Καίσαρος ἀπόδοτε Καίσαρι
Lu 2 1 ἐξῆλθεν δόγμα παρὰ Καίσαρος Αὐγούστου
3 1 ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τ. ἡγεμονίας Τιβερίου Καίσαρος
20 22 ἔξεστιν ἡμᾶς Καίσαρι φόρον δοῦναι ἢ οὔ;
24 οἱ δὲ εἶπαν Καίσαρος
25 τοίνυν ἀπόδοτε τὰ Καίσαρος Καίσαρι
23 2 κωλύοντα φόρους Καίσαρι διδόναι
Jo 19 12 ἐὰν τοῦτον ἀπολύσῃς οὐκ εἶ φίλος τ. Καίσαρος·
πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει τ. Καίσαρι
15 οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα
Ac 17 7 ἀπέναντι τ. δογμάτων Καίσαρος πράσσουσιν
25 8 οὔτε εἰς Καίσαρά τι ἥμαρτον
10 ἑστὼς ἐπὶ τ. βήματος Καίσαρός εἰμι
11 Καίσαρα ἐπικαλοῦμαι
12 Καίσαρα ἐπικέκλησαι ἐπὶ Καίσαρα πορεύσῃ
21 ἕως οὗ ἀναπέμψω αὐτὸν πρὸς Καίσαρα
26 32 εἰ μὴ ἐπεκέκλητο Καίσαρα
27 24 μὴ φοβοῦ Παῦλε Καίσαρί σε δεῖ παραστῆναι
28 19 ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα
Phl 4 22 μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας

ΚΑΙΣΑΡΙ῎Α

Mt 16 13 ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρίας τῆς Φιλίππου
Mk 8 27 ἐξῆλθεν ὁ Ἰησοῦς . . . εἰς τ. κώμας Καισαρίας τῆς Φιλίππου
Ac 8 40 ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισαρίαν
9 30 οἱ ἀδελφοὶ κατήγαγον αὐτὸν εἰς Καισαρίαν
10 1 ἀνὴρ δέ τις ἐν Καισαρίᾳ ὀνόματι Κορνήλιος
24 τῇ δὲ ἐπαύριον εἰσῆλθεν εἰς τ. Καισαρίαν
11 11 ἀπεσταλμένοι ἀπὸ Καισαρίας πρός με
12 19 κατελθὼν ἀπὸ τ. Ἰουδαίας εἰς Καισαρίαν διέτριβεν
18 22 κατελθὼν εἰς Καισαρίαν
21 8 ἐξελθόντες ἤλθαμεν εἰς Καισαρίαν
16 συνῆλθον δὲ κ. τ. μαθητῶν ἀπὸ Καισαρίας σὺν ἡμῖν
23 23 ὅπως πορευθῶσιν ἕως Καισαρίας
33 οἵτινες εἰσελθόντες εἰς τ. Καισαρίαν
25 1 ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρίας
4 τηρεῖσθαι τ. Παῦλον εἰς Καισαρίαν
Ac 25 6 καταβὰς εἰς Καισαρίαν
13 Ἀγρίππας ὁ βασιλεὺς κ. Βερνίκη κατήντησαν εἰς Καισαρίαν

ΚΑΙ῎ΤΟΙ **

Ac 14 17 καίτοι οὐκ ἀμάρτυρον αὐτὸν ἀφῆκεν ἀγαθοῦργων
He 4 3 καίτοι τ. ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων

ΚΑΙ῎ΤΟΙΓΕ *

Jo 4 2 καίτοιγε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν

ΚΑΙ῎Ω

Mt 5 15 οὐδὲ καίουσιν λύχνον κ. τιθέασιν αὐτὸν ὑπὸ τ. μόδιον
Lu 12 35 ἔστωσαν ὑμῶν . . . οἱ λύχνοι καιόμενοι
24 32 οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἦν ἡμ. κεκαλυμμένη, WH mg.
Jo 5 35 ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος κ. φαίνων
15 6 εἰς τὸ πῦρ βάλλουσιν κ. καίεται
1 Co 13 3 ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσομαι καυχήσωμαι, WHR marg.
He 12 18 οὐ γὰρ προσεληλύθατε . . . κεκαυμένῳ πυρί
Re 4 5 ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι ἐνώπιον τ. θρόνου
8 8 ὡς ὄρος μέγα πυρὶ καιόμενον
10 ἀστὴρ μέγας καιόμενος ὡς λαμπάς
19 20 ἐβλήθησαν οἱ δύο εἰς τ. λίμνην τ. πυρὸς τῆς καιομένης ἐν θείῳ
21 8 τὸ μέρος αὐτῶν ἐν τ. λίμνῃ τ. καιομένῃ πυρὶ κ. θείῳ

ΚΑ᾽ΚΕῖ

Mt 5 23 κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ
10 11 κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε
28 10 κἀκεῖ με ὄψονται καὶ ἐκεῖ, T
Mk 1 35 κἀκεῖ προσηύχετο
38 ἵνα κἀκεῖ κηρύξω καὶ ἐκεῖ, WH
14 15 κἀκεῖ ἑτοιμάσατε ἡμῖν καὶ ἐκεῖ, WH
Jo 11 54 κἀκεῖ ἔμεινεν μετὰ τ. μαθητῶν
Ac 14 7 κἀκεῖ εὐαγγελιζόμενοι ἦσαν
17 13 ἦλθον κἀκεῖ σαλεύοντες κ. ταράσσοντες τ. ὄχλους
22 10 κἀκεῖ σοι λαληθήσεται
25 20 κἀκεῖ κρίνεσθαι περὶ τούτων
27 6 κἀκεῖ εὑρὼν ὁ ἑκατοντάρχης πλοῖον Ἀλεξανδρινόν

ΚΑ᾽ΚΕῖΘΕΝ

Mk 9 30 κἀκ. ἐξελθόντες ἐπορεύοντο διὰ τ. Γαλιλαίας
Lu 11 53 κἀκεῖθεν ἐξελθόντος αὐτοῦ
Ac 7 4 κἀκ. μετὰ τὸ ἀποθανεῖν τ. πατέρα αὐτοῦ
13 21 κἀκεῖθεν ἠτήσαντο βασιλέα
14 26 κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν
16 12 κἀκεῖθεν εἰς Φιλίππους
20 15 κἀκεῖθεν ἀποπλεύσαντες
21 1 κἀκεῖθεν εἰς Πάταρα
27 4 κἀκ. ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον
28 15 κἀκεῖθεν οἱ ἀδελφοὶ . . . ἦλθαν εἰς ἀπάντησιν ἡμῖν

ΚΑ'ΚΕΙ'ΝΟΣ

Mt 15 18 κἀκεῖνα κοινοῖ τ. ἄνθρωπον
23 23 ταῦτα δὲ ἔδει ποιῆσαι κἀκεῖνα μὴ ἀφεῖναι
Mk 12 4 κἀκεῖνον ἐκεφαλίωσαν
5 κἀκεῖνον ἀπέκτειναν
16 [11 κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ . . . ἠπίστησαν
[13 κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τ. λοιποῖς
Lu 11 7 κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ
42 ταῦτα δὲ ἔδει ποιῆσαι κἀκεῖνα μὴ παρεῖναι
20 11 οἱ δὲ κἀκεῖνον δείραντες . . . ἐξαπέστειλαν κενόν
22 12 κἀκεῖνος ὑμῖν δείξει ἀνάγαιον μέγα ἐστρωμένον
Jo 6 57 κἀκεῖνος ζήσει δι' ἐμέ
7 29 κἀκεῖνός με ἀπέστειλεν
10 16 κἀκεῖνα δεῖ με ἀγαγεῖν
14 12 τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει
17 24 θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσιν μετ' ἐμοῦ
19 35 κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει
καὶ ἐκεῖνος, WH
Ac 5 37 κἀκεῖνος ἀπώλετο
15 11 καθ' ὃν τρόπον κἀκεῖνοι
18 19 κἀκείνους κατέλιπεν αὐτοῦ
Ro 11 23 κἀκεῖνοι δὲ . . . ἐνκεντρισθήσονται
I Co 10 6 καθὼς κἀκεῖνοι ἐπεθύμησαν
II Ti 2 12 εἰ ἀρνησόμεθα κἀκεῖνος ἀρνήσεται ἡμᾶς
He 4 2 κ. γάρ ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖνοι

ΚΑΚΙ'Α

Mt 6 34 ἀρκετὸν τ. ἡμέρᾳ ἡ κακία αὐτῆς
Ac 8 22 μετανόησον οὖν ἀπὸ τ. κακίας σου ταύτης
Ro 1 29 πεπληρωμένους πάσῃ ἀδικίᾳ πονηρίᾳ πλεονεξίᾳ κακίᾳ
κακ. πλεον., TWH mg.; κακ. πον. πλεον., WH mg. alter
I Co 5 8 μηδὲ ἐν ζύμῃ κακίας κ. πονηρίας
14 20 τ. κακίᾳ νηπιάζετε
Eph 4 31 πᾶσα πικρία . . . ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ
Col 3 8 ἀπόθεσθε κ. ὑμεῖς . . . θυμὸν κακίαν βλασφημίαν
Tit 3 3 ἐν κακίᾳ κ. φθόνῳ διάγοντες
Ja 1 21 διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν κ. περισσείαν κακίας
I Pe 2 1 ἀποθέμενοι οὖν πᾶσαν κακίαν
16 μὴ ὡς ἐπικάλυμμα ἔχοντες τ. κακίας τ. ἐλευθερίαν

ΚΑΚΟΗ'ΘΕΙΑ**

Ro 1 29 μεστοὺς . . . ἔριδος δόλου κακοηθείας

ΚΑΚΟΛΟΓΕ'Ω

Mt 15 4 ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω
מְקַלֵּל אָבִיו וְאִמּוֹ מוֹת יוּמָת, Ex. xxi. 17
Mk 7 10 ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω, Ex. *l.c.*
9 39 ὃς . . . δυνήσεται ταχὺ κακολογῆσαί με
Ac 19 9 κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τ. πλήθους

ΚΑΚΟΠΑ'ΘΕΙΑ

Ja 5 10 ὑπόδειγμα λάβετε ἀδελφοὶ τ. κακοπαθείας
κακοπαθίας, WH

ΚΑΚΟΠΑΘΕ'Ω

II Ti 2 9 ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν
4 5 σὺ δὲ νῆφε ἐν πᾶσιν κακοπάθησον
Ja 5 13 κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω

ΚΑΚΟΠΟΙΕ'Ω

Mk 3 4 ἔξεστιν τ. σάββασιν ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι;
Lu 6 9 εἰ ἔξεστιν τ. σαββάτῳ ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι
I Pe 3 17 κρεῖττον γὰρ ἀγαθοποιοῦντας . . . πάσχειν ἢ κακοποιοῦντας
III Jo 11 ὁ κακοποιῶν οὐχ ἑώρακεν τ. Θεόν

ΚΑΚΟΠΟΙΟ'Σ

I Pe 2 12 ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν
14 εἰς ἐκδίκησιν κακοποιῶν ἔπαινον δὲ ἀγαθοποιῶν
4 15 μὴ γάρ τις ὑμῶν πασχέτω ὡς . . . κακοποιός

ΚΑΚΟ'Σ

(1) κακ. ποιεῖν, πράσσειν (2) κακ. πάσχειν (3) κακὸς . . . καλός, ἀγαθός

Mt 21 41 κακοὺς κακῶς ἀπολέσει αὐτούς
24 48 ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τ. καρδίᾳ αὐτοῦ
27 23 [1] τί γὰρ κακὸν ἐποίησεν;
Mk 7 21 ἐκ τ. καρδίας τ. ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται
15 14 [1] τί γὰρ ἐποίησεν κακόν;
Lu 16 25 Λάζαρος ὁμοίως τὰ κακά
23 22 [1] τί γὰρ κακὸν ἐποίησεν οὗτος;
Jo 18 23 εἰ κακῶς ἐλάλησα μαρτύρησον περὶ τ. κακοῦ
30 [1] εἰ μὴ ἦν οὗτος κακὸν ποιῶν
Ac 9 13 [1] ὅσα κακὰ τ. ἁγίοις σου ἐποίησεν ἐν Ἱερουσαλήμ
16 28 [1] μηδὲν πράξῃς σεαυτῷ κακόν
23 9 οὐδὲν κακὸν εὑρίσκομεν ἐν τ. ἀνθρώπῳ τούτῳ
28 5 [2] ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ ἔπαθεν οὐδὲν κακόν
Ro 1 30 ἐφευρετὰς κακῶν γονεῦσιν ἀπειθεῖς
2 9 ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τ. κατεργαζομένου τὸ κακόν
3 8 [1 3] ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθά
7 19 [1 3] ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω
21 [3] ὅτι ἐμοὶ τὸ κακὸν παράκειται
12 17 μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες
21 [3] μὴ νικῶ ὑπὸ τ. κακοῦ,
[3] ἀλλὰ νίκα ἐν τ. ἀγαθῷ τὸ κακόν
13 3 [3] οὐκ εἰσὶν φόβος τ. ἀγαθῷ ἔργῳ ἀλλὰ τ. κακῷ
4 [1] ἐὰν δὲ τὸ κακὸν ποιῇς φοβοῦ
4 [1] ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι
10 ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται
14 20 κακὸν τ. ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι
16 19 [3] σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν ἀκεραίους δὲ εἰς τὸ κακόν
I Co 10 6 εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν
13 5 οὐ λογίζεται τὸ κακόν
15 33 φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί
II Co 13 7 [1] εὐχόμεθα δὲ . . . μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδέν
Phl 3 2 βλέπετε τ. κακοὺς ἐργάτας

Col 3 5 νεκρώσατε οὖν . . . ἀκαθαρσίαν πάθος ἐπιθυμίαν κακήν
I Th 5 15 ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινὶ ἀποδῷ
I Ti 6 10 ῥίζα γὰρ πάντων τ. κακῶν ἐστὶν ἡ φιλαργυρία
II Ti 4 14 Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο
Tit 1 12 Κρῆτες ἀεὶ ψεῦσται κακὰ θηρία γάστερες ἀργαί
He 5 14 [3] πρὸς διάκρισιν καλοῦ τε κ. κακοῦ
Ja 1 13 ὁ γὰρ Θεὸς ἀπείραστός ἐστιν κακῶν
3 8 ἀκατάστατον κακὸν μεστὴ ἰοῦ θανατηφόρου
I Pe 3 9 μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ
10 παυσάτω τ. γλῶσσαν ἀπὸ κακοῦ
11 [3] ἐκκλινάτω δὲ ἀπὸ κακοῦ
סוּר מֵרָע, Ps. xxxiv. 15
12 [1] πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά
פְּנֵי יְהוָה בְּעֹשֵׂי רָע, *ib.* 17
III Jo 11 [3] μὴ μιμοῦ τὸ κακὸν ἀλλὰ τὸ ἀγαθόν
Re 2 2 ὅτι οὐ δύνῃ βαστάσαι κακούς
16 2 ἐγένετο ἕλκος κακὸν κ. πονηρὸν ἐπὶ τ. ἀνθρώπους

ΚΑΚΟΥ̂ΡΓΟΣ

Lu 23 32 ἤγοντο δὲ κ. ἕτεροι κακοῦργοι δύο σὺν αὐτῷ ἀναιρεθῆναι
δύο κακ., T
33 ἐκεῖ ἐσταύρωσαν αὐτὸν κ. τ. κακούργους
39 εἷς δὲ τ. κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτόν
II Ti 2 9 ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος

ΚΑΚΟΥΧΕ΄ΟΜΑΙ

He 11 37 θλιβόμενοι κακουχούμενοι
13 3 μιμνήσκεσθε . . . τ. κακουχουμένων ὡς κ. αὐτοὶ ὄντες ἐν σώματι

ΚΑΚΟ΄Ω

Ac 7 6 δουλώσουσιν αὐτὸ κ. κακώσουσιν ἔτη τετρακόσια
עֲבוּדוּם וְעִנּוּ אֹתָם אַרְבַּע מֵאוֹת שָׁנָה, Gen. xv. 13
19 οὗτος . . . ἐκάκωσεν τ. πατέρας
12 1 ἐπέβαλεν . . . τ. χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τ. ἐκκλησίας
14 2 ἐκάκωσαν τ. ψυχὰς τ. ἐθνῶν κατὰ τ. ἀδελφῶν
18 10 οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε
I Pe 3 13 κ. τις ὁ κακώσων ὑμᾶς

ΚΑΚΩ̂Σ

Mt 4 24 προσήνεγκαν αὐτῷ πάντας τ. κακῶς ἔχοντας
8 16 πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν
9 12 οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ ἀλλὰ οἱ κακῶς ἔχοντες
14 35 προσήνεγκαν αὐτῷ πάντας τ. κακῶς ἔχοντας
15 22 ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται
17 15 σελληνιάζεται κ. κακῶς ἔχει
κακ. πάσχει, TWH mg.
21 41 κακοὺς κακῶς ἀπολέσει αὐτούς
Mk 1 32 ἔφερον πρὸς αὐτὸν πάντας τ. κακῶς ἔχοντας
Mk 1 34 ἐθεράπευσεν πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις
2 17 οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ ἀλλ' οἱ κακῶς ἔχοντες
6 55 ἤρξαντο ἐπὶ τ. κραβάττοις τ. κακῶς ἔχοντας περιφέρειν
Lu 5 31 οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ ἀλλὰ οἱ κακῶς ἔχοντες
7 2 ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων
Jo 18 23 εἰ κακῶς ἐλάλησα μαρτύρησον περὶ τ. κακοῦ
Ac 23 5 ἄρχοντα τ. λαοῦ σου οὐκ ἐρεῖς κακῶς
נָשִׂיא בְּעַמְּךָ לֹא תָאֹר, Ex. xxii. 27
Ja 4 3 οὐ λαμβάνετε διότι κακῶς αἰτεῖσθε

ΚΑ΄ΚΩΣΙΣ

Ac 7 34 ἰδὼν εἶδον τ. κάκωσιν τ. λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ
רָאֹה רָאִיתִי אֶת־עֳנִי עַמִּי אֲשֶׁר בְּמִצְרָיִם, Ex. iii. 7

ΚΑΛΑ΄ΜΗ

I Co 3 12 ξύλα χόρτον καλάμην

ΚΑ΄ΛΑΜΟΣ

Mt 11 7 κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;
12 20 κάλαμον συντετριμμένον οὐ κατεάξει
קָנֶה רָצוּץ לֹא יִשְׁבּוֹר, Is. xlii. 3
27 29 ἐπέθηκαν . . . κάλαμον ἐν τ. δεξιᾷ αὐτοῦ
30 ἔτυπτον εἰς τ. κεφαλὴν αὐτοῦ
48 περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν
Mk 15 19 ἔτυπτον αὐτοῦ τ. κεφαλὴν καλάμῳ
36 περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν
Lu 7 24 κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;
III Jo 13 οὐ θέλω διὰ μέλανος κ. καλάμου σοι γράφειν
Re 11 1 ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ
21 15 ὁ λαλῶν μετ' ἐμοῦ εἶχεν μέτρον κάλαμον χρυσοῦν
16 ἐμέτρησεν τ. πόλιν τ. καλάμῳ

ΚΑΛΕ΄Ω

(1) c. nom. propr. (2) καλ. ἐν., ἐπί c. dat. (3) καλ. κλήσει

Mt 1 21 [1] καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν
23 [1] καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ
קָרָאת שְׁמוֹ עִמָּנוּאֵל, Is. vi. 14
25 [1] ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ἰησοῦν
2 7 λάθρᾳ καλέσας τ. μάγους
15 ἐξ Αἰγύπτου ἐκάλεσα τ. υἱόν μου
מִמִּצְרַיִם קָרָאתִי לִבְנִי, Hos. xi. 1
23 [1] Ναζωραῖος κληθήσεται
נֵצֶר מִשָּׁרְשָׁיו יִפְרֶה, Is. xi. 1
4 21 εἶδεν ἄλλους δύο ἀδελφοὺς . . . κ. ἐκάλεσεν αὐτούς
5 9 ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται
19 ἐλάχιστος κληθήσεται ἐν τ. βασιλείᾳ τ. οὐρανῶν
19 οὗτος μέγας κληθήσεται ἐν τ. βασιλείᾳ τ. οὐρανῶν
9 13 οὐ γὰρ ἦλθον καλέσαι δικαίους

Mt 20 8 κάλεσον τ. ἐργάτας κ. ἀπόδος τ. μισθόν
21 13 ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται
בֵּיתִי בֵּית־תְּפִלָּה יִקָּרֵא לְכָל־הָעַמִּים, Is. lvi. 7
22 3 ἀπέστειλεν τ. δούλους αὐτοῦ καλέσαι τ. κεκλημένους εἰς τ. γάμους
4 εἴπατε τ. κεκλημένοις
8 οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι
9 ὅσους ἐὰν εὕρητε καλέσατε εἰς τ. γάμους
43 πῶς οὖν Δαυεὶδ ἐν πνεύματι καλεῖ αὐτὸν Κύριον
καλ. Κύρ. αὐτ., TWH marg.
45 εἰ οὖν Δαυεὶδ καλεῖ αὐτὸν Κύριον
23 7 καλεῖσθαι ὑπὸ τ. ἀνθρώπων Ῥαββεί·
8 ὑμεῖς δὲ μὴ κληθῆτε Ῥαββεί
9 πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τ. γῆς
10 μηδὲ κληθῆτε καθηγηταί
25 14 ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσεν τ. ἰδίους δούλους
27 8 διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος
Mk 1 20 εὐθὺς ἐκάλεσεν αὐτούς
2 17 οὐκ ἦλθον καλέσαι δικαίους
3 31 ἀπέστειλαν πρὸς αὐτὸν καλοῦντες αὐτόν
11 17 ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τ. ἔθνεσιν, Is. *l.c.*
Lu 1 13 [1] καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάνην
31 [1] καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν
32 υἱὸς ὑψίστου κληθήσεται
35 τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς Θεοῦ
36 μὴν ἕκτος ἐστὶν αὐτῇ τ. καλουμένῃ στείρᾳ
59 [1 2] ἐκάλουν αὐτὸ ἐπὶ τ. ὀνόματι τ. πατρὸς αὐτοῦ Ζαχαρίαν
60 [1] οὐχὶ ἀλλὰ κληθήσεται Ἰωάνης
61 ὃς καλεῖται τ. ὀνόματι τούτῳ
62 τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτό
76 σὺ δὲ παιδίον προφήτης ὑψίστου κληθήσῃ
2 4 [1] εἰς πόλιν Δαυεὶδ ἥτις καλεῖται Βηθλεέμ
21 [1] ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τ. ἀγγέλου πρὸ τ. συλλημφθῆναι αὐτόν
23 πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τ. Κυρίῳ κληθήσεται
כָּל־בְּכוֹר פֶּטֶר כָּל־רֶחֶם . . . לִי הוּא, Ex. xiii. 1
5 32 οὐκ ἐλήλυθα καλέσαι δικαίους
6 15 [1] Σίμωνα τ. καλούμενον Ζηλωτήν
46 τί δέ με καλεῖτε Κύριε Κύριε
7 11 [1] ἐπορεύθη εἰς πόλιν καλουμένην Ναΐν
39 ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτόν
8 2 [1] Μαρία ἡ καλουμένη Μαγδαληνή
9 10 [1] ὑπεχώρησεν κατ' ἰδίαν εἰς πόλιν καλουμένην Βηθσαιδά
10 39 [1] τῇδε ἦν ἀδελφὴ καλουμένη Μαριάμ
14 7 ἔλεγεν δὲ πρὸς τ. κεκλημένους παραβολήν
8 ὅταν κληθῇς ὑπό τινος εἰς γάμους
8 μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ,
9 κ. ἐλθὼν ὁ σὲ κ. αὐτὸν καλέσας ἐρεῖ σοι
10 ὅταν κληθῇς πορευθεὶς ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον·
ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε
12 ἔλεγεν δὲ κ. τ. κεκληκότι αὐτόν
13 κάλει πτωχοὺς ἀναπείρους χωλούς
Lu 14 16 ἄνθρωπός τις ἐποίει δεῖπνον μέγα κ. ἐκάλεσεν πολλούς·
17 κ. ἀπέστειλεν τ. δοῦλον αὐτοῦ . . . εἰπεῖν τ. κεκλημένοις
24 οὐδεὶς τ. ἀνδρῶν ἐκείνων τ. κεκλημένων
15 19 οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου
21 οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου
19 2 [1] ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος
13 καλέσας δὲ δέκα δούλους ἑαυτοῦ
29 πρὸς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν
20 44 Δαυεὶδ οὖν αὐτὸν Κύριον καλεῖ
21 37 ηὐλίζετο εἰς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν
22 3 [1] εἰσῆλθεν δὲ Σατανᾶς εἰς Ἰούδαν τ. καλούμενον Ἰσκαριώτην
25 οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται
23 33 [1] ὅτε ἦλθαν ἐπὶ τ. τόπον τ. καλούμενον Κρανίον
Jo 1 43 [1] σὺ κληθήσῃ Κηφᾶς
2 2 ἐκλήθη δὲ κ. ὁ Ἰησοῦς κ. οἱ μαθηταὶ αὐτοῦ
Ac 1 12 ἀπὸ ὄρους τ. καλουμένου ἐλαιῶνος
19 [1] ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τ. διαλέκτῳ αὐτῶν
23 [1] ἔστησαν δύο Ἰωσὴφ τ. καλούμενον Βαρσαββᾶν
3 11 [1] συνέδραμεν πᾶς ὁ λαὸς . . . ἐπὶ τ. στοᾷ τ. καλουμένῃ Σολομῶντος
4 18 καλέσαντες αὐτοὺς παρήγγειλαν
7 58 [1] παρὰ τ. πόδας νεανίου καλουμένου Σαύλου
8 10 οὗτός ἐστιν ἡ Δύναμις τ. Θεοῦ ἡ καλουμένη Μεγάλη
9 11 πορεύθητι ἐπὶ τ. ῥύμην τ. καλουμένην Εὐθεῖαν
10 1 ἑκατοντάρχης ἐκ σπείρης τ. καλουμένης Ἰταλικῆς
13 1 [1] Συμεὼν ὁ καλούμενος Νίγερ
14 12 [1] ἐκάλουν τε τὸν Βαρνάβαν Δία
15 22 [1] πέμψαι . . . Ἰούδαν τ. καλούμενον Βαρσαββᾶν
37 [1] συνπαραλαβεῖν κ. τ. Ἰωάνην τ. καλούμενον Μάρκον
24 2 κληθέντος δὲ αὐτοῦ ἤρξατο κατηγορεῖν
27 8 [1] ἤλθομεν εἰς τόπον τινὰ καλούμενον Καλοὺς Λιμένας
14 [1] ἄνεμος τυφωνικὸς ὁ καλούμενος Εὐρακύλων
16 [1] νησίον δέ τι ὑποδραμόντες καλούμενον Καῦδα
Κλαῦδα, TR mg.
28 1 [1] ἐπέγνωμεν ὅτι Μελιτήνη ἡ νῆσος καλεῖται Μελίτη, TR non mg.
Ro 4 17 καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα
8 30 οὓς δὲ προώρισεν τούτους κ. ἐκάλεσεν· κ. οὓς ἐκάλεσεν τούτους κ. ἐδικαίωσεν
9 7 [2] ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα
בְּיִצְחָק יִקָּרֵא לְךָ זָרַע, Gen. xxi. 12
11 οὐκ ἐξ ἔργων ἀλλ' ἐκ τ. καλοῦντος
24 οὓς κ. ἐκάλεσεν ἡμᾶς οὐ μόνον ἐξ Ἰουδαίων
25 καλέσω τὸν οὐ λαόν μου λαόν μου
אָמַרְתִּי לְלֹא־עַמִּי עַמִּי־אַתָּה, Hos. ii. 25
26 ἐκεῖ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος
יֵאָמֵר לָהֶם בְּנֵי אֵל־חָי, *ib.* 1
1 Co 1 9 δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τ. υἱοῦ αὐτοῦ
7 15 [2] ἐν δὲ εἰρήνῃ κέκληκεν ὑμᾶς ὁ Θεός
17 ἕκαστον ὡς κέκληκεν ὁ Θεός

I Co 7 18 περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω.
2 ἐν ἀκροβυστίᾳ κέκληταί τις; μὴ περιτεμνέσθω
20 2 3 ἕκαστος ἐν τ. κλήσει ᾗ ἐκλήθη ἐν ταύτῃ μενέτω.
21 δοῦλος ἐκλήθης; μή σοι μελέτω
22 2 ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος
22 ὁμοίως ὁ ἐλεύθερος κληθείς
24 2 ἕκαστος ἐν ᾧ ἐκλήθη . . . ἐν τούτῳ μενέτω
10 27 εἴ τις καλεῖ ὑμᾶς τ. ἀπίστων
15 9 ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος
Ga 1 6 2 μετατίθεσθε ἀπὸ τ. καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ
15 ὁ Θεὸς ὁ . . . καλέσας διὰ τ. χάριτος αὐτοῦ
5 8 ἡ πεισμονὴ οὐκ ἐκ τ. καλοῦντος ὑμᾶς
13 2 ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε
Eph 4 1 3 ἀξίως περιπατῆσαι τ. κλήσεως ἧς ἐκλήθητε
4 2 καθὼς κ. ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τ. κλήσεως ὑμῶν
Col 3 15 2 εἰς ἣν κ. ἐκλήθητε ἐν ἑνὶ σώματι
I Th 2 12 εἰς τὸ περιπατεῖν ὑμᾶς ἀξίως τ. Θεοῦ τ. καλοῦντος ὑμᾶς
καλέσαντος, WH mg. R mg.
4 7 2 οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ
5 24 πιστὸς ὁ καλῶν ὑμᾶς
II Th 2 14 εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τ. εὐαγγελίου ἡμῶν
I Ti 6 12 τ. αἰωνίου ζωῆς εἰς ἣν ἐκλήθης
II Ti 1 9 3 τ. σώσαντος ἡμᾶς κ. καλέσαντος κλήσει ἁγίᾳ
He 2 11 οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν
3 13 ἄχρις οὗ τὸ σήμερον καλεῖται
5 4 οὐχ ἑαυτῷ τις λαμβάνει τ. τιμὴν ἀλλὰ καλούμενος ὑπὸ τ. Θεοῦ
9 15 ὅπως . . . τ. ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας
11 8 πίστει καλούμενος Ἀβραὰμ ὑπήκουσεν
18 2 ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, Gen. *l.c.*
Ja 2 23 φίλος Θεοῦ ἐκλήθη, Gen. xv. 6
I Pe 1 15 κατὰ τ. καλέσαντα ὑμᾶς ἅγιον
2 9 ὅπως τ. ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος
21 εἰς τοῦτο γὰρ ἐκλήθητε
3 6 ὡς Σάρρα ὑπήκουεν τῷ Ἀβραὰμ κύριον αὐτὸν καλοῦσα
9 ὅτι εἰς τοῦτο ἐκλήθητε
5 10 ὁ καλέσας ὑμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν
II Pe 1 3 διὰ τ. ἐπιγνώσεως τ. καλέσαντος ἡμᾶς διὰ δόξης κ. ἀρετῆς
I Jo 3 1 ἵνα τέκνα Θεοῦ κληθῶμεν
Re 1 9 1 ἐγενόμην ἐν τῇ νήσῳ τ. καλουμένῃ Πάτμῳ
11 8 1 ἥτις καλεῖται πνευματικῶς Σόδομα κ. Αἴγυπτος
12 9 1 ὁ ὄφις ὁ ἀρχαῖος ὁ καλούμενος Διάβολος
16 16 1 εἰς τ. τόπον τ. καλούμενον Ἑβραϊστὶ Ἁρ Μαγεδών
Ἁρμαγεδών, TR
19 9 μακάριοι οἱ εἰς τὸ δεῖπνον τ. γάμου τ. ἀρνίου κεκλημένοι
11 πιστὸς καλούμενος κ. ἀληθινός
—καλ., [WH] R mg.; καλ. πιστ., T
13 κέκληται τὸ ὄνομα αὐτοῦ ὁ λόγος τ. Θεοῦ

ΚΑΛΛΙΕ΄ΛΑΙΟΣ* †

Ro 11 24 εἰ γὰρ σὺ . . . παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον

ΚΑ΄ΛΛΙΟΝ. *Vide* ΚΑΛΩ΄Σ

ΚΑΛΟΔΙΔΑ΄ΣΚΑΛΟΣ* †

Tit 2 3 πρεσβύτιδας ὡσαύτως . . . καλοδιδασκάλους

ΚΑΛΟΠΟΙΕ΄Ω* †

II Th 3 13 μὴ ἐνκακήσητε καλοποιοῦντες

ΚΑΛΟ΄Σ

(1) καλόν ἐστιν, ἤν (2) καλ. ποιεῖν
(3) καλὸς . . . κακός, πονηρός, σαπρός

Mt 3 10 πᾶς οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλόν
5 16 ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα
7 17 3 πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ
ποι. καλ., WH mg.
18 3 οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν.
19 πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλόν
12 33 3 ἢ ποιήσατε τὸ δένδρον καλὸν κ. τ. καρπὸν αὐτοῦ καλόν
13 8 ἄλλα δὲ ἔπεσεν ἐπὶ τ. γῆν τ. καλήν
23 ὁ δὲ ἐπὶ τ. καλὴν γῆν σπαρείς
24 ἀνθρώπῳ σπείραντι καλὸν σπέρμα ἐν τ. ἀγρῷ αὐτοῦ
27 οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τ. σῷ ἀγρῷ;
37 ὁ σπείρων τὸ καλὸν σπέρμα
38 τὸ δὲ καλὸν σπέρμα οὗτοί εἰσιν οἱ υἱοὶ τ. βασιλείας
45 ὁμοία ἐστὶν . . . ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας
48 3 συνέλεξαν τὰ καλὰ εἰς ἄγγη
15 26 1 οὐκ ἔστιν καλὸν λαβεῖν τ. ἄρτον τ. τέκνων οὐκ ἔξεστιν λαβ., T
17 4 1 καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι
18 8 1 καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τ. ζωὴν κυλλόν
9 1 καλόν σοί ἐστιν μονόφθαλμον εἰς τ. ζωὴν εἰσελθεῖν
26 10 ἔργον γὰρ καλὸν ἠργάσατο εἰς ἐμέ
24 1 καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος
Mk 4 8 ἄλλα ἔπεσεν εἰς τ. γῆν τ. καλήν
20 ἐκεῖνοί εἰσιν οἱ ἐπὶ τ. γῆν τ. καλὴν σπαρέντες
7 27 1 οὐ γάρ ἐστιν καλὸν λαβεῖν τ. ἄρτον τ. τέκνων
9 5 1 καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι
42 1 καλόν ἐστιν αὐτῷ μᾶλλον εἰ περίκειται μύλος ὀνικός
43 1 καλόν ἐστίν σε κυλλὸν εἰσελθεῖν εἰς τ. ζωήν
45 1 καλόν ἐστίν σε εἰσελθεῖν εἰς τ. ζωὴν χωλόν
47 1 καλόν σέ ἐστιν μονόφθαλμον εἰσελθεῖν εἰς τ. βασιλείαν τ. Θεοῦ
50 καλὸν τὸ ἅλας
14 6 καλὸν ἔργον ἠργάσατο ἐν ἐμοί
21 1 καλὸν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος
Lu 3 9 πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλόν
[καλόν], WH
6 38 μέτρον καλὸν πεπιεσμένον . . . δώσουσιν
43 3 οὐ γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν·
3 οὐδὲ πάλιν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν
8 15 τὸ δὲ ἐν τ. καλῇ γῇ οὗτοί εἰσιν

Lu 8 15 οἵτινες ἐν καρδίᾳ καλῇ κ. ἀγαθῇ . . . καρποφοροῦσιν
9 33 [1] καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι
14 34 καλὸν οὖν τὸ ἅλας
21 5 ὅτι λίθοις καλοῖς κ. ἀναθήμασιν κεκόσμηται
Jo 2 10 πᾶς ἄνθρωπος πρῶτον τ. καλὸν οἶνον τίθησιν
10 σὺ τετήρηκας τ. καλὸν οἶνον ἕως ἄρτι
10 11 ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός·
ὁ ποιμὴν ὁ καλὸς τ. ψυχὴν αὐτοῦ τίθησιν
14 ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός
32 πολλὰ ἔργα ἔδειξα ὑμῖν καλά
ἔργ. καλ. ἔδ. ὑμ., TWH mg.
33 περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε
Ac 27 8 ἤλθομεν εἰς τόπον τινα καλούμενον Καλοὺς Λιμένας
Ro 7 16 σύνφημι τ. νόμῳ ὅτι καλός
18 τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὔ
21 [2] εὑρίσκω ἄρα τ. νόμον τ. θέλοντι ἐμοὶ ποιεῖν τὸ καλόν
12 17 προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων
14 21 [1] καλὸν τὸ μὴ φαγεῖν κρέα
I Co 5 6 [1] οὐ καλὸν τὸ καύχημα ὑμῶν
7 1 [1] καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι
8 [1] καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ
26 τοῦτο καλὸν ὑπάρχειν διὰ τ. ἐνεστῶσαν ἀνάγκην,
[1] ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι
9 15 [1] καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν
II Co 8 21 προνοοῦμεν γὰρ καλὰ οὐ μόνον ἐνώπιον Κυρίου
13 7 [2] ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε
Ga 4 18 [1] καλὸν δὲ ζηλοῦσθαι ἐν καλῷ πάντοτε
6 9 [2] τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐνκακῶμεν
I Th 5 21 πάντα δὲ δοκιμάζετε τὸ καλὸν κατέχετε
I Ti 1 8 οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος
18 ἵνα στρατεύῃ ἐν αὐταῖς τ. καλὴν στρατίαν
2 3 [1] τοῦτο καλὸν κ. ἀπόδεκτον ἐνώπιον τ. σωτῆρος ἡμῶν Θεοῦ
3 1 εἴ τις ἐπισκοπῆς ὀρέγεται καλοῦ ἔργου ἐπιθυμεῖ
7 δεῖ δὲ κ. μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν
13 βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται
4 4 ὅτι πᾶν κτίσμα Θεοῦ καλόν
6 καλὸς ἔσῃ διάκονος Χριστοῦ Ἰησοῦ, ἐντρεφόμενος τ. λόγοις . . . τ. καλῆς διδασκαλίας
5 10 ἐν ἔργοις καλοῖς μαρτυρουμένη
25 ὡσαύτως κ. τὰ ἔργα τὰ καλὰ προδηλά
6 12 ἀγωνίζου τ. καλὸν ἀγῶνα τ. πίστεως
12 ὡμολόγησας τ. καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων
13 Χριστοῦ Ἰησοῦ τ. μαρτυρήσαντος ἐπὶ Ποντίου Πειλάτου τ. καλὴν ὁμολογίαν
18 πλουτεῖν ἐν ἔργοις καλοῖς
19 ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον
II Ti 1 14 τ. καλὴν παραθήκην φύλαξον
2 3 ὡς καλὸς στρατιώτης Χριστοῦ Ἰησοῦ
4 7 τὸν καλὸν ἀγῶνα ἠγώνισμαι
Tit 2 7 σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων
14 λαὸν περιούσιον ζηλωτὴν καλῶν ἔργων
3 8 ἵνα φροντίζωσιν καλῶν ἔργων προΐστασθαι
8 ταῦτά ἐστιν καλὰ κ. ὠφέλιμα τ. ἀνθρώποις
14 καλῶν ἔργων προΐστασθαι εἰς τ. ἀναγκαίας χρείας
He 5 14 [3] πρὸς διάκρισιν καλοῦ τε κ. κακοῦ
6 5 καλὸν γευσαμένους Θεοῦ ῥῆμα
10 24 εἰς παροξυσμὸν ἀγάπης κ. καλῶν ἔργων
13 9 καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τ. καρδίαν
18 πειθόμεθα γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν
Ja 2 7 βλασφημοῦσιν τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς
8 13 δειξάτω ἐκ τ. καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ
4 17 [2] εἰδότι οὖν καλὸν ποιεῖν κ. μὴ ποιοῦντι
I Pe 2 12 τ. ἀναστροφὴν ὑμῶν ἐν τ. ἔθνεσιν ἔχοντες καλήν
12 ἐκ τ. καλῶν ἔργων ἐποπτεύοντες
4 10 ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ

ΚΑ΄ΛΥΜΜΑ

II Co 3 13 οὐ καθάπερ Μωυσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον αὐτοῦ
יִתֵּן עַל־פָּנָיו מַסְוֶה, Ex. xxxiv. 33
14 τὸ αὐτὸ κάλυμμα ἐπὶ τ. ἀναγνώσει τ. παλαιᾶς διαθήκης μένει
15 κάλυμμα ἐπὶ τ. καρδίαν αὐτῶν μένει·
16 ἡνίκα δὲ ἐὰν ἐπιστρέψῃ πρὸς Κύριον περιαιρεῖται τὸ κάλυμμα

ΚΑΛΥ΄ΠΤΩ

Mt 8 24 ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τ. κυμάτων
10 26 οὐδὲν γάρ ἐστιν κεκαλυμμένον ὃ οὐκ ἀποκαλυφθήσεται
Lu 8 16 οὐδεὶς δὲ λύχνον ἅψας καλύπτει αὐτὸν σκεύει
23 30 λέγειν . . . τ. βούνοις Καλύψατε ἡμᾶς
24 32 οὐχὶ ἡ καρδία ἡν ἡμῶν κεκαλυμμένη ἐν ἡμῖν καρδ. ἡμ. καιομένη ἦν, TWH non mg. R
II Co 4 3 εἰ δὲ κ. ἔστιν κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν,
ἐν τ. ἀπολλυμένοις ἐστὶν κεκαλυμμένον
Ja 5 20 καλύψει πλῆθος ἁμαρτιῶν
I Pe 4 8 ὅτι ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν

ΚΑΛΩ΄Σ

(1) καλ. ποιεῖν (2) καλ. ἔχειν (3) κάλλιον

Mt 12 12 [1] ὥστε ἔξεστιν τ. σάββασιν καλῶς ποιεῖν
15 7 καλῶς ἐπροφήτευσεν περὶ ὑμῶν Ἠσαΐας
Mk 7 6 καλῶς ἐπροφήτευσεν Ἠσαΐας περὶ ὑμῶν τ. ὑποκριτῶν
9 καλῶς ἀθετεῖτε τ. ἐντολὴν τ. Θεοῦ
37 [1] καλῶς πάντα πεποίηκεν
12 28 εἰδὼς ὅτι καλῶς ἀπεκρίθη αὐτοῖς
32 καλῶς διδάσκαλε ἐπ' ἀληθείας εἶπες
16 [18 [2] ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσιν κ. καλῶς ἕξουσιν
Lu 6 26 ὅταν καλῶς ὑμᾶς εἴπωσιν πάντες οἱ ἄνθρωποι
27 [1] καλῶς ποιεῖτε τ. μισοῦσιν ὑμᾶς
48 διὰ τὸ καλῶς οἰκοδομῆσθαι αὐτήν
τεθεμελίωτο γὰρ ἐπὶ τ. πέτραν, R mg.
20 39 διδάσκαλε καλῶς εἶπας
Jo 4 17 καλῶς εἶπες ὅτι Ἄνδρα οὐκ ἔχω
8 48 οὐ καλῶς λέγομεν ἡμεῖς
13 13 καλῶς λέγετε εἰμὶ γάρ
18 23 εἰ δὲ καλῶς τί με δέρεις;

Ac 10 33 [1] σύ τε καλῶς ἐποίησας παραγενόμενος
25 10 [3] ὡς κ. σὺ κάλλιον ἐπιγινώσκεις
28 25 καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησεν διὰ Ἠσαίου
Ro 11 20 καλῶς· τ. ἀπιστίᾳ ἐξεκλάσθησαν
I Co 7 37 [1] ὃς δὲ ἕστηκεν . . . τηρεῖν τὴν ἑαυτοῦ παρθένον καλῶς ποιήσει.
38 [1] ὥστε κ. ὁ γαμίζων τὴν ἑαυτοῦ παρθένον καλῶς ποιεῖ
14 17 σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς
II Co 11 4 καλῶς ἀνέχεσθε
Ga 4 17 ζηλοῦσιν ὑμᾶς οὐ καλῶς
5 7 ἐτρέχετε καλῶς
Phl 4 14 [1] καλῶς ἐποιήσατε συνκοινωνήσαντές μου τ. θλίψει
I Ti 3 4 τ. ἰδίου οἴκου καλῶς προϊστάμενον
12 τέκνων καλῶς προϊστάμενοι
13 οἱ γὰρ καλῶς διακονήσαντες βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται
5 17 οἱ καλῶς προεστῶτες πρεσβύτεροι
He 13 18 ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι
Ja 2 3 σὺ κάθου ὧδε καλῶς
8 [1] εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν . . . καλῶς ποιεῖτε
19 [1] πιστεύεις ὅτι εἷς Θεὸς ἔστιν· καλῶς ποιεῖς
II Pe 1 19 [1] ᾧ καλῶς ποιεῖτε προσέχοντες
III Jo 6 [1] οὓς καλῶς ποιήσεις προπέμψας ἀξίως τ. Θεοῦ

ΚΑ΄ΜΗΛΟΣ

Mt 3 4 εἶχεν τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου
19 24 εὐκοπώτερόν ἐστιν κάμηλον διὰ τρήματος ῥαφίδος εἰσελθεῖν
23 24 τὴν δὲ κάμηλον καταπίνοντες
Mk 1 6 ἦν ὁ Ἰωάνης ἐνδεδυμένος τρίχας καμήλου
10 25 εὐκοπώτερόν ἐστιν κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν
Lu 18 25 εὐκοπώτερον γάρ ἐστιν κάμηλον διὰ τρήματος βελόνης εἰσελθεῖν

ΚΑ΄ΜΙΝΟΣ

Mt 13 42 βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τ. πυρός
50 βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τ. πυρός
Re 1 15 ὡς ἐν καμίνῳ πεπυρωμένης
9 2 ἀνέβη καπνὸς . . . ὡς καπνὸς καμίνου μεγάλης

ΚΑΜΜΥ΄Ω

Mt 13 15 τ. ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν
עֵינָיו הָשַׁע, Is. vi. 10
Ac 28 27 τ. ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, Is. *l.c.*

ΚΑ΄ΜΝΩ

